καὶ πάλιν ὁ Ἀχιλλεύς (Α 128)

'αἴ κέ ποθι Ζεὺς
δῶσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι',

ὁ δὲ Θερσίτης (Β 231)

'ὅν κεν ἐγὼ δήσας ἀνάγω ἢ ἄλλος Ἀχαιῶν.'

πάλιν τοῦ Ἀγαμέμνονος ἐν τῇ ἐπιπωλήσει τὸν Διομήδην λοιδορήσαντος ὁ μὲν οὐθὲν ἀντεῖπεν, (Δ 462)

αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο,

ὁ δὲ Σθένελος, οὗ μηδεὶς λόγος, (ib. 404)

''Ἀτρείδη' φησί, 'μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.
ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι.'

B ἡ γὰρ τοιαύτη διαφορὰ μὴ παρορωμένη διδάξει τὸν νέον ἀστεῖον ἡγεῖσθαι τὴν ἀτυφίαν καὶ μετριότητα, τὴν δὲ μεγαλαυχίαν καὶ περιαυτολογίαν ὡς φαῦλον εὐλαβεῖσθαι. χρήσιμον δὲ καὶ τὸ τοῦ Ἀγαμέμνονος κατανοεῖν ἐνταῦθα· τὸν μὲν γὰρ Σθένελον ἀπροσαύδητον παρῆλθε, τοῦ δ' Ὀδυσσέως οὐκ ἠμέλησε δηχθέντος ἀλλ' ἠμείψατο καὶ προσηγόρευσεν, (Δ 357)

ὡς γνῶ χωομένοιο· πάλιν δ' ὅ γε λάζετο μῦθον·

τὸ μὲν γὰρ πᾶσιν ἀπολογεῖσθαι θεραπευτικὸν καὶ οὐκ ἀξιωματικόν· τὸ δὲ πάντων καταφρονεῖν ὑπερήφανον καὶ ἀνόητον. ἄριστα δ' ὁ Διομήδης ἐν μὲν τῇ μάχῃ σιωπᾷ κακῶς ἀκούων
C ὑπὸ τοῦ βασιλέως, μετὰ δὲ τὴν μάχην παρρησίᾳ χρῆται πρὸς αὐτόν (Ι 34)

'ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν.'

εὖ δ' ἔχει καὶ φρονίμου διαφορὰν ἀνδρὸς καὶ μάντεως πανηγυρικοῦ μὴ παραλιπεῖν. ὁ μὲν γὰρ Κάλχας οὐ συνεῖδε τὸν καιρόν, ἀλλ' ἐν πλήθει παρ' οὐδὲν ἐποιήσατο κατηγορῆσαι τοῦ βασιλέως ὡς τὸν λοιμὸν αὐτοῖς ἐπαγαγόντος· ὁ δὲ Νέστωρ